# Qualche riflessione su libertà e schiavitù tra Omero e i Cristiani
# (Agone Placidiano, Ravenna 23.5.2015 – camillo.neri@unibo.it)

τοῖς μὲν δούλοις ἡ ἀνάγκη νόμος,
τοῖς δὲ ἐλευθέροις ὁ νόμος ἀνάγκη
(***Mantissa proverbiorum*** **3,5)**

**Thuc. VIII 28,4**
τό τε πόλισμα Τισσαφέρνει παραδόντες καὶ τὰ ἀνδράποδα πάντα καὶ δοῦλα καὶ ἐλεύθερα, ὧν καθ᾽ ἕκαστον στατῆρα Δαρεικὸν παρ᾽ αὐτοῦ ξυνέβησαν λαβεῖν, ἔπειτα ἀνεχώρησαν ἐς τὴν Μίλητον.

***Il.*** **I 320s.**
ἀλλ᾽ ὅ γε Ταλθύβιόν τε καὶ Εὐρυβάτην προσέειπε,
τώ οἱ ἔσαν κήρυκε καὶ ὀτρηρὼ θεράποντε·

**Archil. fr. 1 W.$^2$**
εἰμὶ δ᾽ ἐγὼ θεράπων μὲν Ἐνυαλίοιο ἄνακτος
καὶ Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος

***Il.*** **VI 448-455**
ἔσσεται ἦμαρ ὅτ᾽ ἄν ποτ᾽ ὀλώλῃ Ἴλιος ἱρὴ
καὶ Πρίαμος καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.
ἀλλ᾽ οὔ μοι Τρώων τόσσον μέλει ἄλγος ὀπίσσω,
οὔτ᾽ αὐτῆς Ἑκάβης οὔτε Πριάμοιο ἄνακτος
οὔτε κασιγνήτων, οἵ κεν πολέες τε καὶ ἐσθλοὶ
ἐν κονίῃσι πέσοιεν ὑπ᾽ ἀνδράσι δυσμενέεσσιν,
ὅσσον σεῦ, ὅτε κέν τις Ἀχαιῶν χαλκοχιτώνων
δακρυόεσσαν ἄγηται ἐλεύθερον ἦμαρ ἀπούρας·

***Od.*** **XVII 318-323**
νῦν δ᾽ ἔχεται κακότητι, ἄναξ δέ οἱ ἄλλοθι πάτρης
ὤλετο, τὸν δὲ γυναῖκες ἀκηδέες οὐ κομέουσι.
δμῶες δ᾽, εὖτ᾽ ἂν μηκέτ᾽ ἐπικρατέωσιν ἄνακτες,
οὐκέτ᾽ ἔπειτ᾽ ἐθέλουσιν ἐναίσιμα ἐργάζεσθαι·
ἥμισυ γάρ τ᾽ ἀρετῆς ἀποαίνυται εὐρύοπα Ζεὺς
ἀνέρος, εὖτ᾽ ἄν μιν κατὰ δούλιον ἦμαρ ἕλῃσιν.

**Theogn. 535-538**
Οὔποτε δουλείη κεφαλὴ ἰθεῖα πέφυκεν,
ἀλλ᾽ αἰεὶ σκολιὴ καὐχένα λοξὸν ἔχει.
οὔτε γὰρ ἐκ σκίλλης ῥόδα φύεται οὔθ᾽ ὑάκινθος,
οὐδέ ποτ᾽ ἐκ δούλης τέκνον ἐλευθέριον.

**Eur. *El.* 367-372**
Ορ. φεῦ·
οὐκ ἔστ᾽ ἀκριβὲς οὐδὲν εἰς εὐανδρίαν·
ἔχουσι γὰρ ταραγμὸν αἱ φύσεις βροτῶν.
ἤδη γὰρ εἶδον ἄνδρα γενναίου πατρὸς
τὸ μηδὲν ὄντα, χρηστὰ δ᾽ ἐκ κακῶν τέκνα,
λιμόν τ᾽ ἐν ἀνδρὸς πλουσίου φρονήματι,
γνώμην δὲ μεγάλην ἐν πένητι σώματι.

**Antipho *VS* 87 B 44 fr. B c. II**

τοὺς ἐκ καλῶν πατέ-|ρων ἐπ̣αιδού-|μεθά τε καὶ σεβόμεθα, | τοὺς δὲ ἐκ μὴ κα-|λοῦ οἴκου ὄντας | οὔτε ἐπαιδούμε-|θα οὔτε σεβόμεθα. ἐν τούτῳ δὲ | πρὸς ἀλλήλους | βεβαρβαρώμε-|θα, ἐπεὶ φύσει | πάντα πάντες | ὁμοίως πεφύκα-|μεν καὶ βάρβα-|ροι καὶ Ἕλληνες| εἶναι … ἀ-|ναπνέομεν | τε γὰρ εἰς τὸν ἀ-|έρα ἅπαντες | κατὰ τὸ στόμα | καὶ κατα τὰς ῥῖ-|νας καὶ ἐσθίο-|μεν χερσὶν ἅ-|παντες…

**Plat. *Leg.* VI 776b-778a**

[776b] κτήματα δὲ τὸ μετὰ τοῦτο ποῖα ἄν τις κεκτημένος ἐμμελεστάτην οὐσίαν κεκτῇτο; τὰ μὲν οὖν πολλὰ οὔτε νοῆσαι χαλεπὸν οὔτε κτήσασθαι, τὰ δὲ δὴ τῶν οἰκετῶν χαλεπὰ [776c] πάντῃ. τὸ δ᾽ αἴτιον, οὐκ ὀρθῶς πως καί τινα τρόπον ὀρθῶς περὶ αὐτῶν λέγομεν· ἐναντία γὰρ ταῖς χρείαις, καὶ κατὰ τὰς χρείας αὖ, ποιούμεθα περὶ δούλων καὶ τὰ λεγόμενα [...]. [777b] δῆλον ὡς ἐπειδὴ δύσκολόν ἐστι τὸ θρέμμα ἄνθρωπος, καὶ πρὸς τὴν ἀναγκαίαν διόρισιν, τὸ δοῦλόν τε ἔργῳ διορίζεσθαι καὶ ἐλεύθερον καὶ δεσπότην, οὐδαμῶς εὔχρηστον ἐθέλειν εἶναί τε καὶ γίγνεσθαι φαίνεται, [777c] χαλεπὸν δὴ τὸ κτῆμα.

***Gv* 13,1-17**

[1] πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα εἰδὼς ὁ Ἰησοῦς ὅτι ἦλθεν αὐτοῦ ἡ ὥρα ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου
πρὸς τὸν πατέρα, ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ εἰς τέλος ἠγάπησεν αὐτούς. [2] καὶ δείπνου
γινομένου, τοῦ διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρδίαν ἵνα παραδοῖ αὐτὸν Ἰούδας Σίμωνος
Ἰσκαριώτου, [3] εἰδὼς ὅτι πάντα ἔδωκεν αὐτῷ ὁ πατὴρ εἰς τὰς χεῖρας καὶ ὅτι ἀπὸ θεοῦ ἐξῆλθεν καὶ πρὸς τὸν
θεὸν ὑπάγει, [4] ἐγείρεται ἐκ τοῦ δείπνου καὶ τίθησιν τὰ ἱμάτια καὶ λαβὼν λέντιον διέζωσεν ἑαυτόν· [5] εἶτα
βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα καὶ ἤρξατο νίπτειν τοὺς πόδας τῶν μαθητῶν καὶ ἐκμάσσειν τῷ λεντίῳ ᾧ ἦν
διεζωσμένος. [6] ἔρχεται οὖν πρὸς Σίμωνα Πέτρον· λέγει αὐτῷ· "κύριε, σύ μου νίπτεις τοὺς πόδας;" [7]
ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· "ὃ ἐγὼ ποιῶ σὺ οὐκ οἶδας ἄρτι, γνώσῃ δὲ μετὰ ταῦτα". [8] λέγει αὐτῷ
Πέτρος· "οὐ μὴ νίψῃς μου τοὺς πόδας εἰς τὸν αἰῶνα". ἀπεκρίθη Ἰησοῦς αὐτῷ· "ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις
μέρος μετ᾽ ἐμοῦ". [9] λέγει αὐτῷ Σίμων Πέτρος· "κύριε, μὴ τοὺς πόδας μου μόνον ἀλλὰ καὶ τὰς χεῖρας καὶ
τὴν κεφαλήν". [10] λέγει αὐτῷ ὁ Ἰησοῦς· "ὁ λελουμένος οὐκ ἔχει χρείαν εἰ μὴ τοὺς πόδας νίψασθαι, ἀλλ᾽
ἔστιν καθαρὸς ὅλος· καὶ ὑμεῖς καθαροί ἐστε, ἀλλ᾽ οὐχὶ πάντες". [11] ᾔδει γὰρ τὸν παραδιδόντα αὐτόν· διὰ
τοῦτο εἶπεν ὅτι "οὐχὶ πάντες καθαροί ἐστε".
[12] ὅτε οὖν ἔνιψεν τοὺς πόδας αὐτῶν [καὶ] ἔλαβεν τὰ ἱμάτια αὐτοῦ καὶ ἀνέπεσεν πάλιν, εἶπεν αὐτοῖς·
"γινώσκετε τί πεποίηκα ὑμῖν; [13] ὑμεῖς φωνεῖτέ με 'ὁ διδάσκαλος' καὶ 'ὁ κύριος', καὶ καλῶς λέγετε, εἰμὶ
γάρ. [14] εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν
τοὺς πόδας· [15] ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν καὶ ὑμεῖς ποιῆτε. [16] ἀμὴν ἀμὴν
λέγω ὑμῖν, οὐκ ἔστιν δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν. [17] εἰ
ταῦτα οἴδατε, μακάριοί ἐστε ἐὰν ποιῆτε αὐτά".